**ETA SIGMA PHI 75th Annual Greek Translation Contest (2024)**

**Advanced Greek**

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

The Spartans Besiege Plataia

1. μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο.

2. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι εἰ δύναιντο πνεύματος γενομένου ἐπιφλέξαι τὴν πόλιν οὖσαν οὐ μεγάλην· πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη.

3. φοροῦντες δὲ ὕλης φακέλους παρέβαλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως… ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ ἧψαν τὴν ὕλην.

4. καὶ ἐγένετο φλὸξ τοσαύτη ὅσην οὐδείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν· ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ᾽ ἀνέμων πρὸς αὑτὴν ἀπὸ ταὐτομάτου πῦρ καὶ φλόγα ἀνῆκεν.

5. τοῦτο δὲ μέγα τε ἦν καὶ τοὺς Πλαταιᾶς τἆλλα διαφυγόντας ἐλαχίστου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον.

6. νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα καὶ οὕτω παυσθῆναι τὸν κίνδυνον.

1. περιτείχισις circumvallation
2. ἐπιφλέγω burn up
ἐπινοέω think about
προσάγω bring over to
3. φάκελος bundle, faggot
χῶμα siege mound
προσχῶσις ramped mound
θεῖον sulfur
πίσση pine pitch
ἅπτω kindle, set fire to
4. τρίβω rub
ἀνίημι send forth, make arise
5. δεῖ ἐλαλχίστου (impersonal) almost, come very close to
ἐπίφορος carrying towards [sc. ἐς τὴν πόλιν]
πελάζω approach, draw near
6. σβέννθμι quench